p. 449e. *τούτου μέντοι δεῖ, ὦ Γοργία.*

13 ἔστιν ὅτε καὶ τοῖς πάθεσιν εἰς ἀγαθὸν κεχρήμεθα, οἷον λέγει τις ὅτι καλὸν ἡ ἡδονή· φαμὲν ὅτι ναὶ καλόν, ἀλλὰ σκοπήσωμεν ποία ἡδονή· οὐ γὰρ ἡ αἰσχρὰ ἀλλ᾽ ἡ πρὸς θεὸν ὁρῶσα· καὶ πάλιν ἔστι τις φιλότιμος· φαμὲν ὅτι καλὸν τὸ εἶναι φιλότιμον, ἀλλ᾽ οὐ κατὰ τὸ σῶμα ἀλλὰ κατὰ τὴν ψυχὴν ὥστε δεῖ σπεύδειν ὑπὸ ὀλίγων μὲν φιλεῖσθαι, σπουδαίων δὲ ἤπερ ὑπὸ πολλῶν καὶ ἀτάκτων· οὕτως οὖν καὶ ἐνταῦθα πάθους ὄντος τοῦ ἑαυτὸν ἐπαινεῖν τὸν Γοργίαν καὶ λέγειν, ὅτι δι᾽ ὀλίγων ἀποκρίνομαι, ὁ Σωκράτης ἀποδέχεται καὶ λέγει, ὅτι ἔμοι τοῦτο ἐπίδειξον, χαρίζῃ γὰρ δι᾽ ὀλίγων ἀποκρινόμενος.

p. 449e. *ἀλλὰ ποιήσω.*

14 ἀλλὰ βραχύλογος γενήσομαι καὶ οὕτω βραχύλογος ὡς φῆσαί σε, ὅτι οὐδενὸς τοιούτου ποτὲ ἤκουσας.

## IV.

## *Πρᾶξις σὺν θεῷ δ΄.*

p. 449e. *φέρε δή· ῥητορικῆς γὰρ φῂς ἐπιστήμων τέχνης εἶναι.*

1 σαφῶς εἰρηκότος τοῦ Γοργίου ὅτι ῥητορικὴν ἐπαγγέλλομαι, ὁ Σωκράτης λοιπὸν τὴν ἐνέργειαν ἐρωτᾷ· ὥσπερ γὰρ τῆς ἰατρικῆς ἐνέργειά ἐστι τὸ ὑγιάζειν καὶ τῆς μουσικῆς τὸ μελίζειν καὶ τῆς τεκτονικῆς τὸ τεκταίνεσθαι, οὕτως καὶ τῆς ῥητορικῆς τὸ πείθειν· θέλει οὖν ὁ Σωκράτης τοῦτο ἀκοῦσαι παρὰ τοῦ Γοργίου, ἵνα εὑρεθῇ λοιπὸν ἡ ἀρχὴ τῆς πολιτικῆς εὐδαιμονίας· ὡς γὰρ εἴρηται σκοπὸς τοῦ διαλόγου τὸ περὶ τῶν ἠθικῶν ἀρχῶν τῆς πολιτικῆς εὐδαιμονίας διδάξαι· ὁ τοίνυν Γοργίας παρὰ θύρας ἀπαντᾷ καὶ λέγει, ὅτι ἐνέργεια τῆς ῥητορικῆς οἱ λόγοι· ἵνα δὲ γνῶμεν, τί ἐστι τὸ λεγόμενον,

---

3 ἡ in ras. 5 ἡ ante ἡδονή eras.